Ἔνθ' Ὑψηλάντης κλυτὸς ἦν δὶ ἀμύμονα μῆτιν
πᾶσιν ἔην χαρίεις, ἐρίηρος τοῖσι δ' ἑταῖρος
βυλῆς ἐκ πυκινῆς χ' ἱερῆς ξυμφράδμοσι κλεινοῖς.
ῥέζε δὲ πρόφρων ὅσσ' ἑρμηνήεσσι μέμηλεν,
ὅσσ' αὖ σκηπτέχῳ Βασιλῆϊ τ' ἐφήνδανε θυμῷ.
καὶ δὴ ὅγ' εἰσορόων θεράποντά μιν ἐσθλὸν ἐόντα,
αἰὲν μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμὸν,
ὥς κεν Ἀλέξανδρον τιμήσῃ κρείσσονι τιμῇ·
κήδε' ἐ δ' ὐκ εἴων τά γ' ἔχεσκε μάχης ἀλεγεινῆς
εἵνεκα, τὴ Ῥύσσοισι καὶ Ὀθμανοῖς πρὶν ἐνῶρτο,
πρὸς δ' ἔτι μέρμηρ' αἵ γ' οἱ ἀπηύρων νήδυμον ὕπνον.
Ἀλλ' ὅτε ῥα πτολέμοιο δυσηχέος ἔσκε τελευτὴ,
ἐν δέ σφιν φιλότης τε καὶ ὅρκια πιςὰ γένοντο,
δὴ τότε μιν κόσμησεν Ἄναξ κρατερός τε μέγας τε,
χλαῖναν τ' ἀμφιέσας, ςέμμ' ἀμφὶ καρήατι θείς τε,
σκῆπτρά τε χερσὶν ἔθηκεν ἀνάκτων ἀγλαὰ δῶρα,
καί μιν ἄρα προέηκε Δακήων ἡγεμονεύειν
γαίης· ἥ τὸ πάρος περ ἐν αἰνῇ δηϊοτῆτι
λευγαλέως τετέφρωτο πυρὶ κρατερῷ ἀϊδήλῳ,
κεῖτο δὲ πάμπαν ἄοικος ἐρήμηθ'· οἱ ναέται δὲ
αἰνῶς τειρόμενοι κακότητι πολύςονοι αὔτως
τῆλε μάλα πλάζοντο φίλης ἄπο Πατρίδος αἴης.
Ἔνθ' ἄρ' Ἀλεξάνδροιο δαΐφρονος ἐξεφάανθεν
φραδμοσύνη πινυτὴ, φρένες ἔμπεδοι, ἰδμοσύνη τε,
τῇσιν ὅγ' ἀτρεκέως μετὰ δὴ πάντεσσι κέκαςαι.
ὄφρα γὰρ ἐς Δακέων ἐριβώλακ' ἀφίκετο γαῖαν,

κυ-